37. *ἀποσφραγίσας εὗρεν.* S. 398, 15.
38. *καταθέσει τούτου.* S. 398, 21.
39. *λόγος λέγειν* S. 398, 23. †
40. *τῇ χώρᾳ βροῦχος.* S. 398, 26.
41. *θήκης ἔλαβε,* S. 398, 27.
42. *ἐδαπάνα δὲ* S. 399, 3. †
43. *ἄγγελος δὲ οὗτος ἦν* — S. 399, 10.
44. *τὸν κόλπον κείμενον* S. 399, 13. †

Es zeigt sich, dass auch diese äusserste Konzession zu gunsten des Meyerschen Gesetzes über die Thatsache einer erheblichen Zahl falscher Schlüsse nicht weghilft. Es bleiben von 44 inkorrekten Schlüssen immer noch 27 übrig, bei denen das angewandte Mittel nicht wirkt; die Punkte stehen hier an Stellen, wo jeder logisch denkende Mensch beim Vortrage mit der Stimme absetzt. Es muss aber ausdrücklich betont werden, dass die Zulässigkeit des angewandten Mittels starken Zweifeln unterliegt. Nach unseren Vortragsprinzipien mögen allerdings an den markierten 17 Stellen starke Pausen überflüssig sein. Es ist aber bedenklich, unsere Vortragsweise ohne weiteres den Byzantinern zu oktroieren. Die Punkte sind doch von einem Manne gesetzt, der mit der byzantinischen Weise vorzulesen genau vertraut war und wissen musste, wo der Vorleser zur Erleichterung seiner Aufgabe ein sichtbares Pausezeichen wünschte. Wie vorsichtig wir in der Beurteilung der Punkte sein müssen, zeigen verschiedene Stellen des Textes. S. 394, 28 ff. stehen bei der Erzählung des dritten Wunders auf einmal unerwartet viele Punkte. Warum? Offenbar, damit der

Vorleser nicht übersehe, die kleinen Absätze, welche die Neugierde und Bewunderung der Hörer stetig steigern sollen, langsam und stossweise vorzutragen. Aehnlich sind S. 398, 8 ff. die kurzen asyndetischen Glieder durch Punkte abgetrennt. Damit ist die Stelle im Dithyrambus S. 613, 28 ff. zu vergleichen. Es ist ja möglich, dass der Schreiber da und dort irrtümlich einen Punkt zu viel oder zu wenig setzte, aber unmöglich kann ihm der Vorwurf gemacht werden, er habe seine Punkte willkürlich und ohne Rücksicht auf die Forderungen des wirklichen Vortrags gesetzt. Aus diesen Gründen ist die Ausscheidung, die oben versuchsweise vorgenommen wurde, vor dem Richterstuhle einer strengen Kritik höchstens zu einem geringen Teile zu rechtfertigen; im grossen und ganzen muss es bei der ursprünglich gefundenen Zahl inkorrekter Schlüsse sein Bewenden haben.

Noch ist ein letzter Einwand vorweg zu nehmen: Man könnte sagen, der vorliegende Text sei ja kein Originalwerk, sondern nur ein Exzerpt aus einem andern, also ein litterarisch untergeordnetes Produkt; bei einem solchen könne man die strenge Beobachtung der Regel nicht verlangen. Aber dann muss ein grosser Teil der gesamten byzantinischen Litteratur ausgenommen werden; denn auch zahllose andere byzantinische Schriften sind nichts als Auszüge, verkürzende Umarbeitungen und Kompilationen aus älteren Werken.

Es wird also durch den Moskauer Text, der zum Vorlesen bestimmt war und daher die genaue Beobachtung des Meyerschen Gesetzes erwarten lässt, meine früher[1]) ausgesprochene Behauptung bestätigt, dass es sich bei diesem „Gesetze“ mehr um eine Gewohnheit, eine Neigung handelt, als um ein Gesetz im Sinne metrischer Gesetze, und dass in der Anwendung des rythmischen Schlusses vielfach Ungleichheit herrschte. Die ganze Theorie bedarf einer umfassenden Revision, die sich auf zahlreiche Einzeluntersuchungen stützen muss. Vorher kann sie auch für die Kritik der Texte nicht in dem Masse

---

[1]) A. a. O. S. 598 f.

brauchbar gemacht werden, wie Meyer will. Es wird sich empfehlen, bei der Untersuchung von nun an, so weit als möglich, nicht gedruckte Texte, sondern Hss und in erster Linie Hss mit alten Punkten zugrunde zu legen. Bemerkenswert ist, dass sich Lesepunkte auch in Texten finden, die vor dem Auftreten des Gesetzes liegen, z. B. im Codex Bezae des neuen Testaments und anderen Hss des neuen Testaments.[1])

Leben des Theophanes Confessor

im Cod. Mosq. Syn. 183 fol. 189ᵛ—196.

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ.

*Ὁ μέγας οὗτος καὶ σοφὸς Θεοφάνης, ⁘ ὁ τῆς Χριστοῦ θεοφανείας διαπρύσιος κῆρυξ, ⁘ χώρας μὲν ἐξέφυ τοῦ Αἰγαίου Πελάγους, ⁘ ὃ καὶ Παρθένιον οἱ πολλοὶ λέγουσι Κόλπον, ⁘ πατρὸς δὲ Ἰσαακίου * καὶ μητρὸς Θεοδότης, ⁘ εὐγενῶν μὲν τὸ κατὰ σάρκα ⁘ — καὶ γὰρ ἄρχων ὁ Ἰσαάκιος τοῦ Αἰγαίου Πελάγους — ⁘ εὐγενῶν δὲ καὶ τὸ κατὰ πνεῦμα, ⁘ ὃ δὴ καὶ ἀληθεστάτην εὐγένειαν καλῶς * οἱ καλῶς φρονοῦντες λέγουσιν. ⁘ οὗτος τοίνυν τοῦ πατρὸς Ἰσαακίου ⁘ τὸν βίον ἀπομετρήσαντος * τριέτης παρὰ τῇ μητρὶ καταλέλειπτο ⁘ καὶ Ἰσαάκιος ὑπὸ Λέοντος*

[1]) Vgl. Fr. H. Scrivener, Bezae Codex Cantabrigiensis, Cambridge 1864 S. XVIII f. Ein schönes punktiertes Exemplar ist der Cod. Petropol. 80 (Evangelium).

Abweichende Lesart der Handschrift und Bemerkungen: 5 Ueber den seltenen geographischen Namen *Παρθένιος Κόλπος* bemerkt mein Freund Prof. E. Oberhummer Folgendes: „Eustathios ad Dionysium Periegetem 112: *Ἰστέον δέ, ὅτι τὴν Φαρίαν ταύτην θάλασσαν, ἥτις μετὰ τὸ Κρητικόν ἐστιν, ὡς εἴρηται, πέλαγος καὶ Παρθένιον Κόλπον ἐκάλουν οἱ παλαιοί* (hier das Meer bei Aegypten). Weitere Stellen wie Orph. Argon. 85 ff.; 265 f.; Ammian. Marc. XIV 8, 10; XXII 15, 2; 16, 9 beweisen, dass im späteren Altertum der östliche Teil des Mittelmeeres Parthenisches Meer hiess, wenn auch diese Bezeichnung wenig gebraucht gewesen zu sein scheint. Die Auffassung des Aegaeischen Meeres als *Παρθένιος Κόλπος* ist hiernach wohl möglich, sei es als Teil des Parthenischen Meeres, sei es infolge von Wanderung des Namens“ 6 *Ἰσακίου*

υἱοῦ Κωνσταντίνου τοῦ κακῶς τὴν βασίλειον ἀρχὴν διαζωσαμένου * κατωνομάζετο ⁝ τὴν πατρικὴν κλῆσιν ἐπίθετον ὄνομα τούτῳ ποιήσαντος. ⁝

f. 190r Δεκαέτης δὲ γεγονὼς ⁝ μνηστεύεται παρὰ τῆς μητρὸς γαμε-
5 τὴν ⁝ Μεγαλὼ καλουμένην ⁝ τὸν ὄγδοον ἄρτι τῆς ἡλικίας ἐπαναβαίνουσαν χρόνον. ⁝ καὶ ἦν οὕτω τὸν μετέπειτα χρόνον * σωφροσύνῃ συζῶν * καὶ πᾶσαν ὄρεξιν παθῶν χαλινῶν. ⁝ φίλος οὖν τις ἐς τὰ μάλιστα τούτῳ τιμώμενος ⁝ — Πραδίων ἡ κλῆσις αὐτῷ — ⁝ τὴν ἀργυροκοπικὴν μετιὼν, ⁝ ἀνὴρ ἀγαθὸς καὶ θεῷ
10 φίλος, * ὑποτίθεται τούτῳ τὰ κάλλιστα, ⁝ ὡς εἴη μηδὲν ὁ βίος καὶ τὰ τοῦ βίου καὶ ὡς μόνα ⁝ καλὸν τὰ μέλλοντα καὶ μένοντα κτᾶσθαι, * καὶ ἕτερα τοι⟨ου⟩τότροπα. ⁝ ἃ δὴ καὶ τῇ ἑαυτοῦ ψυχῇ καλῶς ὁ καλὸς Θεοφάνης ἐνθέμενος * τῆς ἀρετῆς ἐπεμέλετο. ⁝ Ἄρτι δὲ τὸν ὀκτωκαιδέκατον ἀνύοντα χρόνον ⁝ ἡ
15 μήτηρ παραλαβοῦσα * τοὺς γάμους τελέσειν ἠπείγετο. ⁝ μήπω δὲ τούτων τελεσθέντων * τὸν βίον ἀπέλιπε. ⁝ καὶ δὴ στράτωρα τοῦτον * ὁ μὴ καλῶς βασιλεύων Λέων τιμᾷ ⁝ τὴν μητρικὴν ὥσπερ διὰ τούτου παραμυθούμενος αὐτῷ τελευτήν. ⁝ χρόνος παρῆλθεν οὐχὶ συχνὸς ⁝ καὶ ὁ πενθερὸς * κατεπείγει τοὺς
20 γάμους ⁝ καὶ μέντοι δὴ * καὶ τελεῖ τούτους. ⁝ θεία δέ τις ἐπιλάμψασα δύναμις τῇ Θεοφάνους ψυχῇ, ⁝ μεθ' ὃ τέλος ἔσχε τὰ τῆς τύρβης ἐκείνης τῆς γαμικῆς, * ἰδιαζόντως τὴν νύμφην ὁ νυμφίος ἀπολαβὼν * τὸ τοῦ κόσμου μάταιον καὶ ἄστατον ⁝ προσηκόντως ἐδίδασκε ⁝ καὶ ὡς οὐδὲν ἄρα τὸ ἐντεῦθέν ἐστι
25 κέρδος, * εἰ μὴ καὶ μᾶλλον βλάβη σαφής. ⁝ εἶτα καὶ εἰκόνα
f. 190v τῶν συμβαινόντων ὥσπερ ποιούμενος * πάντα προε|τίθει ⁝ καὶ πάντα τῷ λόγῳ διήλεγχε ⁝ μηδὲν ἀγαθὸν ἀποτέλεσμα τὸ σύνολον ἔχοντα. ⁝ οἷς ἡ νύμφη * πρὸς τὰ καλὰ τὴν ψυχὴν πιερωθεῖσα καὶ τὴν διδαχὴν ἀπεδέξατο * καὶ ἑτοίμην ἑαυτὴν ἐδίδου πρὸς
30 ἅπαν τὸ μελετώμενον τῷ ἀνδρί. ⁝ πίπτει τοίνυν ἐκεῖνος ἐπὶ γῆς * καὶ προσκυνεῖ τῷ θεῷ ⁝ καὶ εὐχαριστίας ἀναφέρει τούτῳ ἐν θερμοῖς τοῖς δάκρυσιν. ⁝ ἔνθεν τοι καὶ εἰς ὀσμὴν

---

28 πιερωθεῖσα: ein sonst, soweit ich sehe, nicht belegtes Verbum (von πιερός = πίων) 32 Vgl. die Vita des Nikephoros Skeuophylax ed. de Boor S. 16, 34 ff.

ἔδραμον μύρου τοῦ θείου * τῷ κάλλει τρωθέντες τῆς δόξης Χριστοῦ. ⁜

Ἔκτοτε οὖν νηστείαις ἐσχόλαζον καὶ δεήσεσιν ἐν ἁγνείᾳ· ⁜ τοῖς πενομένοις ἐχορήγουν τὰ πρὸς τὴν χρείαν καὶ ὅλον θεοφιλῶς τὸν βίον διήνυον. ⁜ ὃ δὴ μαθὼν ⁜ ὁ δύστροπος ἐκεῖνος Λέων, ⁜ ὁ θὴρ καὶ οὐκ ἄνθρωπος, ⁜ ὁ τοῦ Κωνσταντίνου υἱός, * ἠπείλει τοῦ νέου τοὺς ὀφθαλμοὺς ἐκκόψαι. ⁜ προσέτι γε μὴν καὶ ὁ τούτου πενθερὸς συνέτρεχε τῷ τοῦ βασιλέως σκοπῷ ⁜ καὶ διακωλύσειν ἔσπευδε τοὺς νέους * τῆς ἐνθέου βουλῆς. ⁜ διά τοι τοῦτο καὶ φυγὴν ἐβουλεύσαντο ⁜ καὶ μέντοι δὴ καὶ συνετέλεσαν τὴν βουλήν, * εἰ μὴ ταῖς οἰκοδομαῖς τῆς πόλεως Κυζίκου τὸν Θεοφάνην ὁ βασιλεὺς ἐνησχόλησεν. ⁜ τηνικαῦτα γὰρ κατά τινα πάροδον * γέροντί τινι παραβάλλει τῶν μεγάλων τῷ τῆς Σιγριανῆς ἐνασκουμένῳ ὄρει ⁜ — Γρηγόριος ἡ κλῆσις αὐτῷ — * καὶ τὰ τῆς γνώμης ἀνακοινοῦται τούτῳ. ⁜ καὶ ὃς πρὸς αὐτόν· ⁜ Οὐ χρεία σοί, φησι, τούτου, νεώτερε, τό γε νῦν ἔχον· ⁜ καὶ γὰρ μικρὸν ὅσον ⁜ καὶ πενθερὸς ὁ σὸς ⁜ καὶ βασιλεὺς αὐτὸς * τῶν τῇδε μεθίσταται ⁜ καὶ | τότε τελέσεις f. 191r
τό σοι παριστάμενον. ⁜ καὶ ταῦτα μὲν πρὸς αὐτὸν ὁ διορατικὸς γέρων ἐκεῖνος, ⁜ πρὸς ἑτέρους δέ τινας * καί· Ὅτι καὶ διὰ Χριστὸν ὁ νεανίας οὗτος, ἔφησε, μαρτυρήσει κατὰ τὸν καιρὸν τὸν προσήκοντα. ⁜ τούτων ἀκούσας * πρὸς τὰ οἰκεῖα τὴν πορείαν ὁ θαυμαστὸς ἐποιεῖτο, ⁜ καὶ ἐπεὶ καί τινας ἑτέρους ἀνηρεύνα γέροντας ⁜ τῶν μεγάλων, * τὴν ὁδὸν ἐπλανήθη ⁜ καὶ διὰ πάσης ὁδεύων ἡμέρας τὴν ἔρημον * δίψει συνεσχέθη δεινῶς τοῦ ἡλίου φλέγοντος· ⁜ θέρους γὰρ ἦν ἀκμή. ⁜ ἔνθεν τοι καὶ ἐκλιπόντων ἤδη τῶν σὺν αὐτῷ ⁜ καὶ τῇ γῇ δόντων ἑαυτούς ⁜ — οὐδὲ γὰρ εἶχον δυνατῶς ὁδεύειν — ⁜ ὁ μέγας οὗτος καὶ καλὸς Θεοφάνης ⁜ κλίνας τὰ γόνατα * θερμῶς ἐδέετο τοῦ θεοῦ, ⁜ καὶ εὐθὺς ὕδωρ ἔβλυσε κατ' ἐκεῖνον τὸν τόπον * ἡδύ τε καὶ καθαρὸν ⁜ καὶ οἷον ἀπὸ χιόνος ἄρτι λυθείσης ἔρχεται. ⁜ οὗ καὶ μετασχόντες * ἀνεκτήθησαν ἅπαντες καὶ δόξαν ἀπεδίδουν θεῷ. ⁜

Κατὰ γοῦν τὸν πρῶτον καὶ εἰκοστὸν χρόνον τῆς αὐτοῦ ἡλικίας ⁜ ἡ τοῦ μεγάλου γέροντος ἐκείνου πρόρρησις * εἰς ἔργον ἐξέβη. ⁜ καὶ θνήσκει μὲν ὁ τούτου πενθερός, ⁜ θνήσκει δὲ καὶ

βασιλεὺς ὁ ἀνόσιος * καὶ εἰρήνη βαθεῖα τὴν ἐκκλησίαν κατέλαβε ⁑ τῆς Εἰρήνης ἄρτι μόνης τὰ σκῆπτρα τῆς βασιλείας ἐχούσης. ⁑ ἔνθεν τοι καὶ τὸ καλὸν ζεῦγος ⁑ τῆς τυραννούσης αὐτοὺς μανίας τοῦ βασιλέως ἐλευθεριάσαντες * ἀμφοτέραις ἤντλουν χερσὶ τοῖς πενομένοις τὸν πλοῦτον. ⁑ καὶ ἐπεὶ καλῶς εἶχεν αὐτοῖς τοῦτο
f. 191v καὶ θεοφιλῶς, ⁑ ἐλευθερίᾳ καὶ τοὺς οἰ | κέτας τιμήσαντες ⁑ ὁ μὲν τῇ κατὰ τὸ ὄρος Σιγριανὸν μονῇ * τοῦ Πολιχνίου λεγομένῃ πρόσεισι ⁑ κτῆμα τούτου πατρικὸν γεγενημένῃ ποτέ· ⁑ ἡ δὲ * τῷ ἐν Πριγκήπῳ παρθενῶνι φέρουσα δίδωσιν ἑαυτήν, ⁑ Εἰρήνη ἀντὶ Μεγαλοῦς αἱρετισαμένη καλεῖσθαι, ⁑ συνθήκας θέμενοι μὴ κατὰ ζωὴν ἀλλήλους τὴν παροῦσαν ἰδεῖν. ⁑ οὐκ ὀλίγος παρῆλθε χρόνος ⁑ καὶ Στρατηγίῳ μὲν τῷ κατὰ πνεῦμα πατρὶ * τὴν μονὴν ἀποδίδωσι, ⁑ τὴν Καλώνυμον δὲ ⁑ — νῆσος δὲ αὕτη — * καταλαμβάνει ⁑ καὶ μοναστήριον ἐν αὐτῇ βάθρων ἐξ αὐτῶν ἀνεγείρει ⁑ — καὶ γὰρ εἶχέ τι κἂν ταύτῃ γῇδιον πατρικόν —, ⁑ ἐν ᾧ καὶ μονάζοντας συναθροίσας ⁑ ἐκ τῆς τοῦ Θεοδώρου μονῆς, ⁑ ὃν Μονόχειρα κατωνόμαζον, * τὸν ἐπισημότερον αὐτῶν * προεστάναι τούτων πεποίηκεν ⁑ αὐτὸς ὑπήκοος ἐν παντὶ τούτῳ γενόμενος. ⁑ ἐπεὶ δὲ τοῦτον ἡ πρόνοια τῶν τῇδε μετεκαλέσατο, * τὸν μέγαν προστῆναι τῆς ἀδελφότητος καθικέτευον ἅπαντες. ⁑ ὁ δὲ ταπεινόφρων ὢν εἴπερ τις ἄλλος * τοῦτο μὲν παρῃτήσατο, ⁑ πρός τι δὲ κελλίον ἑαυτὸν ἀποκλείσας * καλλιγραφῶν διετέλει ⁑ καὶ πᾶσαν ἄλλην ἀρετὴν μετιὼν ⁑ ἓξ οὕτω διετέλεσεν ἔτη. ⁑ καὶ τὴν μονὴν δὴ ταύτην ⁑ ἀπολιπὼν * τὸ τῆς Σιγριανῆς αὖθις ὄρος καταλαμβάνει ⁑ καὶ τῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Χριστοφόρου μονῇ ⁑ καλῶς ἐμφιλοχωρεῖ ⁑ καὶ πόνοις ἑαυτὸν ἀσκητικοῖς ἐκδίδωσιν ⁑ οἷάπερ ἀρχὴν ποιούμενος τῶν ἀγώνων ⁑ ἀναβάσεις τε τῶν ἀρετῶν πασῶν ἐν καρδίᾳ
f. 192r διατίθεται ⁑ καὶ ὅλος | δοχεῖον γίνεται * θείων ἐννοιῶν τῶν τοῦ πνεύματος. ⁑

Κατ' ἐκεῖνο τοίνυν καιροῦ ⁑ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ἑβδόμη καὶ οἰκουμενικὴ συγκροτεῖται σύνοδος. ⁑ ἀθροίζεται σὺν

---

8 Die Konstruktion κτῆμα — πατρικὸν stammt wohl von dem stilistisch etwas ungewandten Autor 12 Zu Strategios vgl. Nikephoros Skeuophylax ed. de Boor S. 18, 37 20 προστῆναι] προστὴν: em. E. Kurtz 32 συμπᾶσι

πᾶσι καὶ οὗτος * καὶ τῷ ὑπερβάλλοντι τῆς ἀρετῆς ⁑ καὶ τῷ ταπεινῷ τῆς καταστολῆς * πολλὴν ἑαυτῷ τὴν τιμητικὴν σχέσιν παρὰ τῆς συνόδου συνῆξε ⁑ καὶ ὅλος ἦν ὑπερθαύμαστος * κἂν τοῖς ἁπάντων ἔκειτο στόμασι. ⁑ τῆς αἱρέσεως οὖν ἐκποδὼν γενομένης ⁑ ταῖς τῶν θεοπνεύστων λόγων προτάσεσί τε καὶ ἀντιθέσεσι, * τὸ ὄρος ὁ μέγας αὖθις κατέλαβε * καὶ τῶν ἀσκητικῶν εἴχετο δρόμων. ⁑ εἰς τοσοῦτον οὖν ἐπλατύνθη τὰ τῆς μονῆς * καὶ πρὸς ἐπίδοσιν ἦλθε ⁑ τῇ τε ἄλλῃ κατασκευῇ καὶ προσεπικτήσει, ⁑ ναὶ δὴ καὶ τῷ πλήθει τῶν ἀδελφῶν, * ὡς πάντων τῶν τε κατὰ Βιθυνίαν καὶ τὸν Ἑλλήσποντον ἀσκητηρίων * τὸ πρωτεῖον αὐτὴν ἀπενέγκασθαι. ⁑ ἐφ' οἷς φθονήσας τῷ ἁγίῳ τῶν δαιμόνων ὁ ἄρχων * ἐπιτίθεται τούτῳ κοιμωμένῳ ποτὲ νυκτὸς μετ' αὐτῶν * καὶ κακῶς αὐτῷ διατίθεται. ⁑ εἶτα καί τινος τῶν πονηρῶν πνευμάτων ⁑ τὸν τῆς χειρὸς τοῦ μεγάλου δάκτυλον ἐνδακόντος ⁑ — τοσοῦτον γὰρ ἔβρυξεν ἐπ' αὐτῷ τοὺς ὀδόντας — ⁑ ὀδύνης οὗτος ᾔσθετο * καὶ βοῆς ἐπλήρου τὸ μοναστήριον. ⁑ συναχθέντων οὖν τῶν ἀδελφῶν * ὁ μέγας ἐπεδείκνυ τὸν δάκτυλον ⁑ τὰς ἐμβολὰς τῶν ὀδόντων ἐμφαίνοντα. ⁑ ὃν ἁγιάσματι διαβρέξαντες οὗτοι ⁑ καὶ τὸ πολὺ τῆς ὀδύνης κουφίσαντες ὑγιᾶ πεποι | ήκασι ⁑ τῶν δηγμάτων ἐπὶ πολλαῖς ταῖς ἡμέραις ἐμφαι- 20 f. 192ᵛ
νομένων. ⁑ πάλιν δὲ καὶ πολλάκις ὑπνοῦντα τὸν μέγαν * ἐῤῥάπιζον ⁑ καὶ διεγρηγορότα * πτοεῖν ἐπεχείρουν * καὶ φόβοις ἐκπλήττειν· ⁑ ἀλλ' οὐδὲν ταῦτα πρὸς τὴν μεγάλην ἐκείνην καὶ οὐρανομήκη ψυχήν. ⁑ διὸ καὶ σημείοις ἄρχεται τοῦτον στέφειν ἡ χάρις τοῦ πνεύματος * καὶ τὴν κατ' αὐτὰ ἐξουσίαν χαρίζεσθαι. ⁑ λιμοῦ γάρ ποτε γενομένου ⁑ καὶ τῷ κακῷ τούτῳ πάντων πιεζομένων * ἤνοιξε μὲν πρῶτον οὗτος τὰ οἰκεῖα σπλάγχνα καλῶς, ⁑ ἤνοιξε δὲ καὶ χεῖρα * καὶ αὐτὸν τὸν τῆς μονῆς σιτῶνα * καὶ τὰς τῶν πενήτων γαστέρας ἐνέπλησε. ⁑ καὶ ἦν ἄλλος Μωυσῆς * ἐν ἐρήμῳ διατρέφων λαόν. ⁑ ὁ τοίνυν ταμίας τοῦ σίτου ⁑ προσιὼν τῷ μεγάλῳ· ⁑ Λογίζομαί, φησι, πάτερ, ὡς οὐδὲ μέχρι τοῦ ἡμίσους ἔτους * ἡ τοῦ ὅλου χρόνου τοῦ σίτου ἀπόθεσις

---

15 *ἔβρυξαν*, aber *-αν* auf Rasur. Der ganze Schaltsatz soll wohl das folgende *ὀδύνης ᾔσθετο* begründen; man würde ihn dann aber nach *ᾔσθετο* erwarten 25 *τὴν κατ' αὐτῶν* 29 *ἄλλος*] *ἄλλως*

ἐξαρκέσει ⁑ τῷ πλήθει τῆς ἐξόδου μεγάλως ἐκλείπουσα. ⁑ πρὸς ὃν ὁ θαυμάσιος· Ἵνα τί μικρόψυχος, ὦ τέκνον, ἐφάνης, ἔφη, μὴ πρὸς θεὸν τὰς ἐλπίδας τιθέμενος; ⁑ πιστεύω γὰρ, * ὡς εἰ μέτρῳ τὸν σῖτον ὑποβάλῃς, * ὄψει τὴν δύναμιν τοῦ θεοῦ. ⁑ μετρεῖ
5 τοῦτον ὁ ἀδελφὸς * καὶ κατ' οὐδὲν ἐλλείποντα τοῦ τεθέντος εὑρίσκει ⁑ μηνῶν τριῶν μετὰ τὴν ἀπόθεσιν παρῳχηκότων ⁑ καὶ μήτε τῆς ἐν τούτοις ἐξόδου * μήτε τοῦ χορηγηθέντος τοῖς δεομένοις τὸ σύνολον λείψαντος. ⁑

Ἄλλοτέ ποτε * πένητί τινι προσιόντι ⁑ νόμισμα ἓν τῷ ἐπὶ
f. 193r 10 τῆς διακο | νίας τεταγμένῳ δοῦναι τούτῳ κελεύει· ⁑ τοῦ δὲ μηδὲν προσεῖναι τῷ κιβωτίῳ τὸ σύνολον εἰπόντος * ὁ μέγας ⁑ τῷ ἔργῳ προσκείμενος ἐπιμελῶς τῆς γραφῆς· ⁑ Ἄπελθε, λέγει· ⁑ δὸς τῷ πένητι τὸ αἰτούμενον. ⁑ τοῦ δὲ καὶ πάλιν τὸ κιβώτιον ἀνεῴξαντος * — μεγάλα σου, κύριε, τὰ θαυμάσια — ⁑ καὶ νόμισμα
15 παρ' ἐλπίδας εὑρηκότος ἓν ⁑ καὶ τῷ ἁγίῳ κομίσαντος μετ' ἐκπλήξεως ⁑ καὶ διαβεβαιουμένου ⁑ μηδὲν τὸ πρότερον εὑρηκέναι· * Ὕπαγέ, ⁑ φησι πρὸς αὐτὸν ὁ μέγας, * δίδου τοῦτο τῷ πένητι ⁑ καὶ μὴ προστίθει λόγους πολλούς. ⁑

Ἀνὴρ οὖν τῶν οἰκοδομούντων τὸ τῆς μονῆς εὐκτήριον εἷς *
20 πλήττεταί ποτε πνεύματος μάστιγι πονηροῦ. ⁑ ἐπεὶ οὖν ἀκρατῶς αὐτὸν ἤλαυνε τὸ δαιμόνιον ⁑ καὶ τὰς ἰδίας σάρκας καταδαπανᾶν ἐποίει, ⁑ δεσμοῖς ἀρρήκτοις χεῖρας αὐτοῦ περιβαλόντες οἱ σὺν αὐτῷ καὶ πόδας * ἔν τινι καθεῖρξαν οἰκίσκῳ. ⁑ καὶ δὴ μιᾷ τῶν νυκτῶν ⁑ τοῦ ἁγίου δεήσεις πρὸς θεὸν ὑπὲρ αὐτοῦ ποιουμένου *
25 τὰ δεσμὰ διελύθη τῶν τε χειρῶν ἐκείνου καὶ τῶν ποδῶν ⁑ καὶ ὅλως ἦν ὁ ἄνθρωπος σωφρονῶν * καὶ εὐσταθῶς πορευόμενος. ⁑ οἱ φυλάσσοντες οὖν * τοῦτο δὴ τὸ παράδοξον θεασάμενοι, * πῶς τε λυθείη τῶν δεσμῶν διηρῶτων ⁑ καὶ παρὰ τίνος ⁑ καὶ τί γένοιτο ⁑ καὶ ποῦ πορεύοιτο. ⁑ κἀκεῖνος ⁑ τὸν τοῦτο δια-
30 πραξάμενον ὑπεδείκνυ· ⁑ Οὗτός ἐστι, λέγων, ὁ μοναχός, ⁑ ὁρῶν αὐτὸν μὴ παρ' ἄλλου βλεπόμενον, * ὅς μέ, φησι, καὶ πρὸς τὴν
f. 193v ἐκκλησίαν καλεῖ. ⁑ θείαν οὖν τὸ | πρᾶγμα νομίσαντες δυναστείαν * τὰ δεσμὰ περισκοποῦσι ⁑ καὶ κατά τι τῆς στρωμνῆς αὐτοῦ μέρος * συνηγμένα καθορῶσιν αὐτά, ⁑ πρᾶγμα θαυμάσιον. ⁑

---

13 Zu ἀνεῴξαντος vgl. Hatzidakis, Einleitung in die neugr. Gr. S. 63 f.

*ἔνθεν τοι καὶ τὴν ἐκκλησίαν τάχος κατειλήφασι σὺν αὐτῷ * καὶ τῷ θεῷ τὴν εὐχαριστίαν προσῆγον. ⁂*

*Ἐντεῦθεν ἡ πρὸς τὸν μέγαν πίστις ἐπηύξει τοῖς μαθηταῖς. ⁂ καὶ γάρ ποτε τοῖς θερμοῖς ὕδασι διὰ μακροῦ τοῦ χρόνου προσβαλόντος αὐτοῦ σὺν αὐτοῖς ⁂ μικρᾶς θεραπείας ἕνεκα * βατράχων ἦν πλήρης ὁ τόπος, ἐν ᾧπερ κατέλυσαν· ⁂ ὧν ταῖς κραυγαῖς * τὸ ἥσυχον ὑπετέμνετο τούτοις. ⁂ τὶς οὖν αὐτῶν ⁂ προσήκων κατὰ γένος τῷ γέροντι ⁂ πίστιν ὥσπερ ἀναλαβών· * Ὁ καλόγηρος, ἔφη, ⁂ παύσατέ, φησι, καὶ μὴ κράζετε. ⁂ παύουσιν οὖν ἐκεῖνοι τῆς φυσικῆς καὶ συνήθους κραυγῆς * οἱ ἀσυνήθως καὶ φύσεως ἐκτὸς τὸ ἀκούειν ἔχοντες. ⁂ καὶ μεθ' ἡμέρας δύο * τῷ ἁγίῳ τὸ πρᾶγμα προσαγγέλλει * ὁ τὴν σιωπὴν τοῖς βατράχοις προστεταχώς· ⁂ ἐκεῖνος δὲ λύει τούτοις αὐτὴν δι' αὐτοῦ ⁂ πλεῖστα τούτῳ προσεπιτιμήσας διὰ τὴν πρᾶξιν. ⁂*

*Παραβαλόντων δέ τινων πρὸς αὐτὸν * ἐκεῖνος ⁂ φιλάδελφος ὢν καὶ θερμὸς πρὸς δεξίωσιν * ἰχθύας πέμψας κομίζει. ⁂ τῶν δὲ πατέρων τις * χαριέστατά φησι πρὸς τὸν ὅσιον· Ὕσκαν βούλομαι, πάτερ, * ὕσκαν φαγεῖν ἐθέλω. ⁂ τοῦτο τῆς ἀγάπης ὁ φίλος ἐνωτισάμενος ⁂ ἀδιστάκτως τῇ πίστει τῶν μαθητῶν ἑνί· ⁂ Πορευθεὶς, εἶπε, ⁂ χάριν τῶν ἀδελφῶν * κόμισον ἡμῖν ἐκ τῆς θαλάσσης ὕσκαν. ⁂ ὃς πο | ρευθεὶς καὶ τὰ δίκτυα τῆς θαλάσσης χαλάσας * f. 194r ἀγρεύει παρευθὺς τὸ ὀψάριον ⁂ καὶ κομίζει τοῦτο παρὰ πᾶσαν ἐλπίδα· ⁂ οἱ δὲ ἰδόντες ἐξεπλάγησαν * καὶ δόξαν ἀπεδίδουν θεῷ. ⁂*

*Ἄλλοτε πλοίου μέσον κινδυνεύοντος τῆς θαλάσσης * ὁ μέγας ἄνωθεν εὐξάμενος ⁂ ἤδη μέλλοντος τῷ βυθῷ παραπέμπεσθαι * κατεύνασέ τε τὸν κλύδωνα * καὶ σέσωκε τοὺς πλωτῆρας ⁂ ἄνδρας ὄντας τρεῖς καὶ πεντήκοντα. ⁂*

*Καὶ αὐτοῦ δὲ τούτου μέλλοντος ἀπὸ τῆς τοῦ Πολιχνίου μονῆς ποτε διὰ τῆς θαλάσσης ⁂ πρὸς τὸ ἴδιον ἀπελθεῖν μοναστήριον ⁂ — ἐν ταύτῃ γὰρ ἔτυχεν ἀπιὼν — ⁂ τὸ ταύτης ἀγριαῖνον * (ἦν δὲ μέγα καὶ φοβερόν) * διά τινος τῶν μαθητῶν καταστέλλει ⁂ πορευθέντος πρὸς τὸν αἰγιαλὸν ⁂ καὶ ταύτῃ κατὰ τὸν τοῦ μεγάλου λόγον ἐπιτιμήσαντος, * ὡς εὐθὺς γαλήνης ὁρᾶσθαι μεστὴν *

---

13 Der Punkt nach *δι' αὐτοῦ* ist nicht ganz deutlich 16 *θερμῶς*
24 ff. Die freie Partizipialkonstruktion kommt auf Rechnung des Autors

τὴν ἴσα καὶ ὄρεσι τὰ κύματα διεγείρουσαν * καὶ αὐτοὺς τὸν πλοῦν εὐόρμιως ποιήσασθαι καὶ καλῶς. ⁑

Τοιούτοις καὶ μείζοσι τοῖς θαυμασίοις ἐνδιαπρέπων ἔργοις ὁ Θεοφάνης ⁑ ἀπό γε τῆς βασιλείας Εἰρήνης τῆς εὐσεβοῦς ⁑ καὶ μέχρι τῶν χρόνων Μιχαὴλ τοῦ πιστοῦ ⁑ τὸν ἀσκητικὸν ἐπανελόμενος βίον ⁑ ἐν τῷ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ ἀσθενείᾳ περιπίπτει δεινῇ. ⁑ σύμπτωσις δὲ αὕτη νεφρῶν ἦν * καὶ λιθίωσις κύστεως ⁑ δυσχερῆ καὶ ὀδυνηρὰν αὐτῷ ποιοῦσα τὴν τοῦ ὕδατος ἔκκρισιν· ⁑ λίθοι γάρ τινες τοῦ αἰδοίου πωρώδεις ἀπέπιπτον ⁑ καὶ ἡ ὀδύνη τηνικαῦτα δριμεῖα * καὶ ἄλλως ἀφό-
f. 194ᵛ ρητος. ⁑ ἔμεινεν οὖν ὁ τρισόλβιος | μέχρι παντὸς τοῦ βίου ταύτῃ τῇ νόσῳ κάτοχος. ⁑

Τῷ δὲ πεντηκοστῷ καὶ τρίτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας ⁑ Λέων ὁ δυσσεβὴς Ἀρμένιος ⁑ τῶν τῆς βασιλείας σκήπτρων ἐπιλαβόμενος, ὡς μὴ ὤφελεν, * δεινῶς τὴν ἐκκλησίαν ἐτάραξε. ⁑ καὶ ἐπεὶ πάντων κατέδραμε τῶν ὀρθοδόξων πατέρων ⁑ καὶ τὰ τῆς αἱρέσεως ἐνέσπειρε δόγματα τοῖς ἀφελέσι καὶ πρὸς κόσμον ζῶσιν ἀνδράσι, * γράφει καὶ πρὸς τὸν μέγαν τοῦτον καὶ σοφὸν Θεοφάνην· ⁑ Ἐλθέ, λέγων, * εὐξόμενος ὑπὲρ ἡμῶν, ⁑ ὅτι κατὰ βαρβάρων ἀπέρχομαι. ⁑ ταῦτα δεξάμενος ὁ μέγας τὰ γράμματα * ἐφ' ἁμάξης τίθεται ⁑ — οὐδὲ γὰρ βαδίζειν διὰ τὴν δηλωθεῖσαν νόσον ἠδύνατο — * κἂν τῷ αἰγιαλῷ κατάγεται. ⁑ εἶτα καὶ πλοίῳ ἐμβάλλεται * καὶ τῇ Κωνσταντίνου δίδοται. ⁑ καὶ κατ' ὄψιν μὲν οὐκ ἔρχεται τοῦ τυράννου, ⁑ δέχεται δὲ μηνύματα συνεχῶς ⁑ ὡς ἢ πεισθέντα τοῖς αὐτοῦ δόγμασι δηλοῦντα * πολλῶν ἀγαθῶν αὐτὸν ἀπολαύσειν καὶ τὴν ἰδίαν μονήν, ⁑ εἰ δ' οὖν ἀλλὰ ξύλῳ ἀγχόνης τὴν ζωὴν ἀπορρῆξαι· ⁑ τούτων τῶν ἀγγελμάτων ὁ μέγας ἀκούσας· ⁑ Οὔτε σου τῶν δωρεῶν, ἀντεδήλωσε, βασιλεῦ, χρῄζω τὸ σύνολον * οὔτε τῶν ἀπειλῶν λόγον τὸ παράπαν ποιοῦμαι. ⁑ χαίρω γὰρ εἰς πεῖραν αὐτῶν * ὑπὲρ τοῦ ἐμοῦ Χριστοῦ καθιστάμενος καὶ τῆς εἰκόνος αὐτοῦ, ⁑ κἂν δέῃ με δὲ ἀποθανεῖν, * οὐδαμῶς τὴν αὐτῆς προσκύνησιν ἀπαρνήσομαι. ⁑ ἤκουσε τούτων

---

6 αὐτοῦ 8 λιθίωσις wollte ich nicht ändern, obschon sonst nur λιθίασις bezeugt zu sein scheint 9 πορώδεις 31 κἂνδέημαι δὲ: em. E. Kurtz

ὁ δυσσεβής, ⁂ μαίνεται ⁂ καί τινι Ἰαννῇ καλουμένῳ καὶ μαγο-
*μάντει κατονο | μαζομένῳ * πρὸς διάλογον τὸν δίκαιον παρα-* f. 195r
*δίδωσιν. ⁂ ἄγει τοίνυν τοῦτον ἐκεῖνος * πρὸς τὴν τῶν Χριστοῦ*
μαρτύρων Σεργίου τέ φημι καὶ Βάκχου μονήν· ⁂ καὶ ἐπεὶ τὰ
μυσαρὰ τούτου προβλήματα ταῖς τῶν θεοπνεύστων τοῦ Θεοφάνους 5
λόγων ἀντιθέσεσι διελύοντο ⁂ καὶ αἱ προτεινόμεναι παρ' ἐκείνου
κολάσεις ⁂ τρυφαὶ τούτῳ καὶ δόξαι καὶ πλοῦτος ἡγοῦντο, ⁂ καὶ
*ταύτας ἐπόθει διὰ Χριστόν, * ὁ μάγος τῷ δυσσεβεῖ προσελθών· **
*Σίδηρον, ἔφη, βασιλεῦ, μαλάξαι ῥᾴδιον * ἢ τὸν ἄνδρα τοῦτον*
*ἑλεῖν. ⁂ τότε δὴ μετάγει τὸν μέγαν ὁ παράνομος * εἰς τὰ Ἐλευ-* 10
θερίου ἀνάκτορα ⁂ καὶ σκοτεινῷ, φεῦ, τοῦτον οἰκίσκῳ καθείρ-
γνυσι ⁂ καὶ φρουροὺς ἐπ' αὐτῷ καθιστᾷ ⁂ καὶ χρόνον ἐπὶ διετῆ
ταλαιπωρεῖν οὕτω καταλιμπάνει. ⁂ καί ποτε τοῦ συνόντος αὐτῷ
παιδὸς ⁂ οἷα παρηγοροῦντος αὐτὸν καὶ λέγοντος, ⁂ ὡς ἴσως
μαλαχθείη τὸ σκληρὸν τοῦ Λέοντος διὰ τὴν ἐνοῦσάν σοι, πάτερ, 15
ἀσθένειαν ⁂ καὶ τὸν πολὺν τῆς καθείρξεως χρόνον ⁂ καί σε
*τῇ ἰδίᾳ παραπέμψοι μονῇ, ⁂ ὅπως ἐν αὐτῇ τὸν βίον ἀλλάξῃς, **
*ἐκεῖνος· ⁂ Οὐχί, τέκνον, προφητικῶς εἶπεν, * οὐχί· ⁂ οὐκ ἴδῃς*
*τοῦτο ποτέ· ⁂ ἀλλ' εἰς νῆσον ἐκπέμπει με * σκληρὰν καὶ ἀπα-*
ραμύθητον, ⁂ ἐν ᾗ τις ἡμᾶς ξεναγήσει πρεσβύτης, ⁂ ἐν ᾗ καὶ 20
*τὸν βίον ἀλλάξω * καὶ πρὸς τὸν ποθούμενον πορεύσομαι βασιλέα*
*Χριστόν. ⁂ οὐ πολὺ τὸ ἐν μέσῳ ⁂ καὶ ὁ Ἀρμένιος * ἐν τῇ*
Σαμοθράκῃ τὸν μέγαν ἐκπέμπει ⁂ καὶ ξενίζει τοῦτον ὁ πρε | f. 195
σβύτης κατὰ τὴν πρόρρησιν, ⁂ καὶ τὸ τέλος αὐτὸν ἐν αὐτῇ κατὰ
τὴν προφητείαν κατέλαβεν ⁂ ἡμέρας ἐν αὐτῇ τρεῖς πρὸς ταῖς 25
*εἴκοσιν ἐπιζήσαντα μόνας * καὶ τὴν δωδεκάτην τοῦ Μαρτίου **
τὸ τούτου τέλος ἰδεῖν προειπόντα. ⁂ θάπτεται τοίνυν ἐν αὐτῇ
*φιλοτίμως ὁ φιλότιμος * καὶ θαύματα πλεῖστα τελεῖ. ⁂ Λέοντος*
δὲ τοῦ δυσσεβοῦς ⁂ τὸν βίον κακῶς ἐκμετρήσαντος ⁂ καὶ τοῦ

---

1 *ἰαννῇ* Man erwartete *ἰάννῃ*; doch wollte ich den Accent nicht ändern *μαγομάντῃ* 4 *μονῇ* 7 *ἡγοῦντο* Der Autor gebraucht *ἡγεῖσθαι* = gelten! 9 Zu dem statt eines Komparativs gebrauchten Positiv vgl. Ein Dithyrambus auf Theophanes Confessor S. 624 und Lamberti Bos Ellips. gr. ed. Schäfer S. 769 ff. 10 Ueber den Palast des Eleutherios vgl. Jean Paul Richter, Quellen der byz. Kunstgeschichte, Wien 1897 S. 382 27 *τούτου*: Man erwartet *αὐτοῦ*

*Μιχαὴλ τὴν βασιλείαν παραλαβόντος ⁑ καὶ μικρόν τι τοῦ διωγμοῦ παυσαμένου, ⁑ εἰ καὶ μὴ τέλεον, * οἱ μαθηταὶ τὸν μέγαν ἀπὸ Σαμοθράκης ἀράμενοι * πρῶτα μὲν εἰς τὸ τῆς μονῆς κτῆμα τοῦτον, ὃ Ἱερεῖα λέγεται * κομίζουσιν ⁑ — ἡ τῶν γενεθλίων ἣν*
5 *ἡμέρα τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν — ⁑ εἶτα ⁑ κατὰ τὴν ἔνδοξον καὶ κυρίαν τῆς ἀναστάσεως * τῇ μονῇ φέροντες τίθενται, ⁑ ἐν ᾗ πολὺ συνέδραμε πλῆθος ⁑ καὶ πάντες, ὅσοι νοσήμασι χαλεποῖς καὶ δαίμοσι προσεπάλαιον, * θεραπείας ἐτύγχανον. ⁑ τυφλοὺς ἣν ἰδεῖν βλέποντας, ⁑ χωλοὺς περιπατοῦντας, ⁑ λεπροὺς καθαιρο-*
10 *μένους μόνῃ τῇ προσψαύσει τοῦ τάφου. ⁑ ναὶ δὴ καὶ κωφοὶ καὶ ἄλαλοι * τὸ λαλεῖν καὶ ἀκούειν ἐλάμβανον ⁑ καὶ θεῷ τῷ ἁγίῳ τὴν εὐχαριστίαν ἅπαντες ἀπεδίδουν. ⁑ ἐν οἷς καὶ γύναια τῇ αἱμορροίᾳ δεινῶς πιεζόμενα * τῆς μάστιγος ἀπηλλάγησαν. ⁑ καὶ χειρόγραφον δὲ ἡμαρτημένων τῇ θήκῃ τεθὲν ἐσφραγισμένον ὑπό*
15 *τινος * ἄγραφον ὁ τεθεικὼς * ἀποσφραγίσας εὗρεν. ⁑ ἡ γὰρ ἀκένωτος πηγὴ τῶν χαρισμάτων * ἅπασι τὴν ἴασιν μετεδίδου πλουσίως. ⁑*

f. 196r *Ἐκεῖθεν οὖν ἄραντες αὐτὸν οἱ κομίσαντες * εἰς τὴν ὑπ' αὐτοῦ κτισθεῖσαν μονὴν Ἀγρὸν ἐπιλεγομένην * κατέθεντο * κατὰ τὸ*
20 *δεξιὸν τοῦ ναοῦ μέρος, * ἐν ᾧπερ οὗτος ᾠκοδόμησε τάφῳ. ⁑ πολλῶν θαυμάτων ἐκεῖσε τελεσθέντων * τῇ καταθέσει τούτου ⁑ δίκαιον οὖν τούτων ἀπομνημονεῦσαί τινα, ⁑ ἵν' ἐξ αὐτῶν διαγνωσθῇ καὶ τὰ ὅλα. ⁑ ποῦ γὰρ ἰσχύσει καὶ λόγος λέγειν ⁑ καὶ χεὶρ γράφειν * τὰ καθ' ἑκάστην πραχθέντα τε καὶ πραττόμενα ⁑*
25 *ξένα καὶ ὑπὲρ λόγον τοῦ μεγάλου τερατουργήματα! ⁑*

*Γεωργοῦ τινος ἐνέπεσε τῇ χώρᾳ βροῦχος. ⁑ τὸ μύρον ἐκεῖνος τῆς τοῦ ἁγίου θήκης ἔλαβε, ⁑ διέρρανε τὴν χώραν ⁑ καὶ τῷ ῥαντισμῷ * τὸν βροῦχον ἀπέκτεινεν. ⁑ ἄλλου γεωργοῦ τινος τῷ σιτῶνι σκωλήκων γένος ἐνέσκηψε ⁑ τὸν σῖτον αὐτοῦ * πάντη*
30 *φθεῖρον καὶ λυμαινόμενον. ⁑ ὁ γεωργὸς τῷ σίτῳ διερράντισε τὸ μύρον ⁑ καὶ οὐ μόνον οἱ σκώληκες ἐτεθνήκεσαν, * ἀλλὰ δὴ καὶ ὁ φθάσας σῖτος ποσῶς βρωθῆναι * σωζόμενος ὡρᾶτο * καὶ ὅλως ἀκέραιος. ⁑*

---

9 *καθαιρουμένους* 26 Ueber *βροῦχος* vgl. H. Usener, Der hl. Theodosios S. 174 f. 33 *ὅλος*

*Παρθένος δέ τις ⁑ τῶν εὖ γεγονότων καὶ περιωνύμων * ἐγκρύφιον ἔσχε σκώληκα τῇ κεφαλῇ ⁑ καὶ ἄλγημα καὶ περιωδυνίαν ⁑ εἰκασμῷ * μηδ' ὅλως ὑποβαλλόμενα. ⁑ ἐδαπάνα δὲ ⁑ οὐχ ἧττον ὁ σκώληξ αὐτὴν * ἢ παῖδες ἰατρῶν αὐτῆς τὴν οὐσίαν. ⁑ ἦν δὲ τῆς τέχνης ἀπορία πολλὴ ⁑ καὶ τῆς ὀδύνης ἐπίστασις. ⁑ γυναικὸς δέ τινος ἄλλης ⁑ μύρον τῆς σοροῦ τοῦ μεγάλου διακονισαμένης ⁑ καὶ τοῖς μυκτῆρσιν αὐτῆς ἐμβαλούσης ⁑ καὶ τοῦ ἁγίου κατ' ἐκείνην τὴν ἑσπέραν ἐπιφανέντος ⁑ καὶ σφρα | γῖδα* f. 196v
τῇ κεφαλῇ τῆς πασχούσης ἐμβαλόντος ⁑ καί τινος νεανίσκου συμπαρόντος αὐτῷ ⁑ — ἄγγελος δὲ οὗτος ἦν — ⁑ καὶ τὸν τῆς Σιγριανῆς Θεοφάνην λέγοντος εἶναι ⁑ τοῦ ὕπνου ἐκείνη διαναστᾶσα ⁑ καὶ τὰς ὀδύνας κοιμισθείσας εὑροῦσα ⁑ τὸν ὀλετῆρά τε σκώληκα πρὸς τὸν κόλπον κείμενον ⁑ καὶ ἑαυτὴν ὑγιᾶ δι' ὅλου κατανοήσασα ⁑ δόξαν ἀπεδίδου θεῷ καὶ τῷ ἁγίῳ. ⁑

*Καὶ ταῦτα μὲν, πανθαύμαστε Θεόφανες, τὰ τοῦ βίου σου παράδοξα, ⁑ τὰ ἆθλα, τὰ θαύματα * καὶ ἡ πρὸς θεὸν ἐκ τούτων οἰκείωσις. ⁑ καὶ νῦν τῷ δεσποτικῷ παριστάμενος θρόνῳ ⁑ νέμοις ταῖς εὐκτικαῖς πρὸς θεὸν ἱκεσίαις σου ⁑ καὶ βασιλεῖ τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα χρηστῷ ⁑ μακροῦ βίου εὐμάρειαν, ⁑ ἰσχὺν κατ' ἐναντίων καὶ τρόπαια, ⁑ χεῖρα τούτου κρατύνων κατ' αὐτῶν, * τὰ στρατεύματα, ⁑ ἅπαν γένος ἀπαλείφουσαν αὐτῶν καὶ ἐκτρέπουσαν ⁑ ἡμέρας αὐτὸν υἱὸν ἔργασαι καὶ φωτὸς ἀνεσπέρου, ⁑ λαμπρὰν χάρισαι τούτῳ τὴν κατοικίαν, ⁑ πάντων τῶν καλῶν τὴν μετάληψιν πᾶσαν * καὶ βασιλείας οὐρανῶν μετουσίαν, ⁑ ὅτι Χριστῷ τῷ θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος * νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

4 Zum Ausdrucke *παῖδες ἰατρῶν* vgl. G. Wartenberg, Das mittelgriech. Heldenlied von Basileios Digenis Akutas, Progr. d. Lessing-Gymn., Berlin 1897 S. 16 und 23 6 *διακονησαμένης* zu ändern wäre unvorsichtig; vgl. Hatzidakis, Einleitung in die neugr. Grammatik S. 396 f.

ZOBODAT - www.zobodat.at

Zoologisch-Botanische Datenbank/Zoological-Botanical Database

Digitale Literatur/Digital Literature

Zeitschrift/Journal: Sitzungsberichte der philosophisch-philologische und historische Klasse der Bayerischen Akademie der Wissenschaften München

Jahr/Year: 1897

Band/Volume: 1897-1

Autor(en)/Author(s): Krumbacher Karl, Theophanes Confessor

Artikel/Article: Eine neue Vita des Theophanes Confessor 371-399